www.tezaurliturgic.ro



# ΑΚΟΛΟΥΘΙΑ
# ΤΟΥ ΟΣΙΟΥ ΚΑΙ ΘΕΟΦΟΡΟΥ ΠΑΤΡΟΣ ΗΜΩΝ
# ΠΑΪΣΙΟΥ ΤΟΥ ΒΕΛΙΤΣΚΟΦΣΚΥ, ΗΣΥΧΑΣΤΟΥ
# ΚΑΙ ΑΝΑΚΑΙΝΙΣΤΟΥ ΤΟΥ ΕΝ ΡΩΣΙΑ ΑΣΚΗΤΙΣΜΟΥ

**Ἡ μνήμη αὐτοῦ τελεῖται τῇ ΙΕ΄ Νοεμβρίου.**

**Ποίημα Δρος Χαραλάμπους Μ. Μπούσια**
**Μεγάλου Ὑμνογράφου τῆς τῶν Ἀλεξανδρέων Ἐκκλησίας**

## ΕΝ ΤΩ ΜΙΚΡΩ ΕΣΠΕΡΙΝΩ

Μετὰ τὸν Προοιμιακὸν εἰς τὸ Κύριε ἐκέκραξα ἱστῶμεν στίχους δ΄ καὶ ψάλλομεν τὰ ἑξῆς Προσόμοια.

*Ἦχος α΄. Τῶν οὐρανίων ταγμάτων.*

Βλαστὸν Πολτάβας Ῥωσίας
τὸν εὐθαλέστατον,
τὸν ἐν Ἁγίῳ Ὄρει
ἐξανθήσαντα κρίνα



εὐώδη θεαρέστου διαγωγῆς,
προσευχῆς, ταπεινώσεως
καὶ προσευχῆς τοῦ Κυρίου καρδιακῆς,
νῦν Παΐσιον, τιμήσωμεν.

Σεπτὸν δομήτορα πάντες
τῆς θείας Σκήτεως
ἐν τῷ Ἁγίῳ Ὄρει
Ἠλιοὺ τοῦ προφήτου,
Παΐσιον τὸν θεῖον περιχαρῶς
οἱ πιστοὶ ἀνυμνήσωμεν
καὶ τοὺς καμάτους πρὸς θέωσιν τοὺς αὐτοῦ
νυχθημέρους μεγαλύνωμεν.

Μελετητὴν συγγραμμάτων
πατέρων μέλψωμεν
τῶν τὴν ψυχὴν ὠθούντων
πρὸς φιλόκαλον νῆψιν
καὶ τούτων πρὸς κατοίκων μεταφραστὴν
τοῦ Βοῤῥᾶ πνευματέμφορον,
σεπτὸν Παΐσιον, χάριτος ποταμὸν
καὶ χειμάῤῥουν ἀγαθότητος.

Τὸν στηριζόμενον πίστει
ἐν πάσαις πράξεσι
καὶ λόγοις καθ' ἑκάστην
ταῖς Γραφαῖς ταῖς ἁγίαις,
Παΐσιον, τὸ κλέος τῶν νεαυγῶν
ἀσκουμένων τοῦ Ἄθωνος

www.tezaurliturgic.ro



καὶ καινιστὴν ἐν Ῥωσίᾳ μοναστικῆς
ἀγωγῆς ἐγκωμιάσωμεν.

*Δόξα. Ἦχος β΄.*

Τὸν τῆς μυστικῆς θεολογίας καὶ νήψεως κοσμήτορα καὶ διδάσκαλον τῆς ἡσυχίας καὶ προσευχῆς ἀσιγήτου,

Παΐσιον τὸν ὁσιώτατον, ἀξιοχρέως εὐφημήσωμεν κράζοντες·

Ῥωσίας θειότατε γόνε καὶ ὑψηλὸν τοῦ Ἁγιωνύμου ὄρους ἀνάστημα, ὁ τὸν ζυγόν σου ἐπ' ὤμων ἀράμενος καὶ Ἠλιοὺ τοῦ Θεσβίτου ἀκολουθήσας τρίβοις, μὴ παύσῃ Κυρίου δεόμενος ὑπὲρ τῶν τιμώντων τὴν θείαν μνήμην σου.

*Καὶ νῦν. Θεοτοκίον. Τὴν πᾶσαν ἐλπίδα μου....*

*Εἰς τὸν Στίχον. Ἦχος β΄. Οἶκος τοῦ Ἐφραθᾶ.*

Χαίροις, ὁ τηλαυγῶς
καταφωτίσας δήμους,
Παΐσιε, ἀζύγων
σῇ ἀγωγῇ φωσφόρῳ
καὶ διδαχαῖς πυρφόροις σου.

*Στίχος. Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τοῦ Ὁσίου Αὐτοῦ.*



Ἤσκησας θαυμαστῶς
ἐν Ὄρει τῷ Ἁγίῳ,
μονῇ τῆς Δραγομίρνας,
Σεκοὺλ λαμπρῷ σεμνείῳ
καὶ Νιαμέτς, Παΐσιε.

*Στίχος. Μακάριος ἀνὴρ ὁ φοβούμενος τὸν Κύριον.*

Σκήτεως ἱδρυτὴς
καὶ πολιστὴς ἐν Ἄθῳ,
πνευματοφόρε πάτερ,
τοῦ Ἠλιοὺ ἐδείχθης,
τοῦ θαυμαστοῦ, Παΐσιε.

*Δόξα. Τριαδικόν.*

Δεῖξον ἡμῖν ὁδόν,
Τριὰς ὑπεραγία,
ἡσυχασμοῦ, ἣν πόθῳ
ἐβάδισεν ἀρτίως
ὁ θεαυγὴς Παΐσιος.

*Καὶ νῦν. Θεοτοκίον.*

Δέσποινα Μαριάμ,
Δακρυῤῥοοῦσα, γέρας
τῆς Σκήτεως ἐν Ἄθῳ
τοῦ Ἡλιοὺ τοῦ θείου,
ἡμῖν Χριστὸν ἱλέωσαι.

www.tezaurliturgic.ro



*Νῦν ἀπολύεις.....τὸ Τρισάγιον, τὸ Ἀπολυτίκιον ἐκ τοῦ Μεγάλου Ἑσπερινοῦ καὶ Ἀπόλυσις.*

## ΕΝ ΤΩ ΜΕΓΑΛΩ ΕΣΠΕΡΙΝΩ

Μετὰ τὸν Προοιμιακὸν τὸ Μακάριος ἀνήρ, εἰς δὲ τὸ Κύριε ἐκέκραξα ἱστῶμεν στίχους στ´ καὶ ψάλλομεν τὰ ἑξῆς Προσόμοια.

*Ἦχος δ´. Ὡς γενναῖον ἐν μάρτυσι.*

Παμπληθεῖς νῦν φιλάγιοι,
συνελθόντες πανήγυριν,
δεῦτε, συγκροτήσατε ἀγαλλόμενοι·
ἰδοὺ γὰρ πάντας ἐκάλεσεν
ἡμᾶς εἰς ἑστίασιν
καὶ χαρὰν πνευματικὴν
ὁ θεόφρων Παΐσιος,
ὁ θειότατος ἀσκητὴς τοῦ Ἁγιωνύμου Ὄρους
ὁ καινίσας τῆς Ῥωσίας
ἀσκητισμὸν τὸν Ὀρθόδοξον.

Τῆς Πολτάβας τὸ βλάστημα,
τοῦ θανάτου τὸν ἔχοντα
μνήμην ἐκ νεότητος εὐφημήσωμεν,
πνευματοφόρον Παΐσιον,
εὐχῆς, ταπεινώσεως,
ἀληθοῦς ὑπομονῆς



καὶ ἀγάπης ἀρχέτυπον
διαυγέστατον
τὸν λαβόντα τὸ χάρισμα δακρύων
οὐρανόθεν ὡς ὁσίων
περικλεῶν ἐνδιαίτημα.

Ἰσαγγέλως βιώσαντα
καὶ τὴν Σκήτην δομήσαντα
Ἠλιοὺ προφήτου ἐν ὄρει Ἄθωνος
ὡς προσευχῆς ἐργαστήριον
ἀπαύστως αἰτούμενον
τὰ ἐλέη τοῦ Θεοῦ
Λόγου φιλανθρωπεύσαντος
ἀνυμνήσωμεν
καὶ τὴν σάρκα τὴν βρότειον λαβόντος
δι' ἡμᾶς μελισταγέσιν
ᾠδαῖς καὶ ὕμνοις ἐμπρέπουσιν.

Ὡς ἀστέρα νεόφωτον
φωταυγίαις ἀσκήσεως
πόνων Ἐκκλησίαν καταφωτίσαντα,
ὀρθοδοξίας ὑπέρμαχον,
ῥαστώνης πολέμιον,
ἐγκρατείας θησαυρόν,
θεῖον μάργαρον νήψεως
καὶ ἀγλάϊσμα
προσευχῆς συνελθόντες, δεῦτε, ὕμνοις
καταστέψωμεν εὐτάκτοις
τὸν θεοφόρον Παΐσιον.

www.tezaurliturgic.ro



Τὸν φιλοῦντα ἐγρήγορσιν,
ἡσυχίαν, ἀσίγητον
προσευχὴν καὶ νῆψιν ἐκ τῆς νεότητος
καὶ ἐντρυφῶντα συγγράμμασι
πατέρων, Παΐσιον,
τὸν νεόφωτον φανὸν
ἐκ Ῥωσίας ἐν ἔτεσιν
ἀνατείλαντα
τοῖς ἐσχάτοις τιμήσωμεν προφρόνως
καὶ ὡς μέγιστον πατέρων
νεοφανῶν μακαρίσωμεν.

Νέκταρ θεῖον συλλέξαντα
ἐκ τῶν βίβλων τιμήσωμεν
Ἰσαὰκ τοῦ Σύρου, Νικήτα ἔμφρονος
Στηθάτου, Νείλου θεόφρονος
τοῦ Σόρσκυ, παμμάκαρος
Διαδόχου Φωτικῆς,
Ἡσυχίου, κοσμήτορος
θείας πίστεως
Συμεὼν καὶ Κασσιανοῦ Ῥωμαίου,
ἅμα θείου Γρηγορίου
τοῦ Σιναΐτου, Παΐσιον.

*Δόξα. Ἦχος πλ. β´.*

Σήμερον ἐξέλαμψεν ὡς νεόφωτον σέλας
ἐν τῷ τῆς Ἐκκλησίας νοητῷ στερεώματι



ἡ πανέορτος μνήμη Παϊσίου τοῦ πνευματοφόρου
καθηδύνουσα τὰς ψυχὰς τῶν ἁπανταχοῦ Ὀρθοδό-
ξων·
Δεῦτε, οὖν εὐσεβῶν τὰ συστήματα πνευματικῶς
ἑορτάσωμεν
ἐν κατανύξει αὐτῷ βοῶντες·
Χαῖρε, ὁ ἐν ἐσχάτοις καιροῖς
τῶν πάλαι ἀσκητῶν ἀναζωγραφήσας τοὺς τρόπους·
Χαῖρε, ὁ ἐν διαφόροις τόποις
νυχθημέροις καμάτοις Θεῷ εὐαρεστήσας
καὶ ἀγγέλων ὀφθεὶς ἰσοστάσιος·
Χαῖρε, ὁ καινιστὴς τῆς ἀσκητικῆς ἐν τῷ Βοῤῥᾷ
πολιτείας
καὶ δομήτωρ τῆς ἐν Ἄθωνι Σκήτεως Ἠλιοὺ τοῦ
προφήτου·
Καὶ νῦν ἐν πόλῳ Χριστοῦ ἐπαπολαύων τοῦ κάλλους
ἐκτενῶς Αὐτὸν ἱκέτευε
ὑπὲρ τῶν πίστει καὶ πόθῳ τελούντων
τὴν πανσεβάσμιον μνήμην σου.

*Καὶ νῦν. Θεοτοκίον. Τίς μὴ μακαρίσει σε, Παναγία Παρθένε,...*

*Εἴσοδος. Φῶς ἱλαρόν. Τὸ Προκείμενον τῆς ἡμέρας καὶ τὰ Ἀναγνώσματα.*

www.tezaurliturgic.ro



## Παροιμιῶν τὸ Ἀνάγνωσμα.
## (Κεφ. η' 1 - 11)

Υἱέ, σὺ τὴν σοφίαν κηρύξεις, ἵνα φρόνησίς σοι ὑπακούσῃ· ἐπὶ γὰρ τῶν ὑψηλῶν ἄκρων ἐστίν, ἀνὰ μέσον δὲ τῶν τρίβων ἕστηκε· παρὰ γὰρ πύλαις δυναστῶν παρεδρεύει, ἐν δὲ εἰσόδοις ὑμνεῖται. Ὑμᾶς, ὦ ἄνθρωποι, παρακαλῶ καὶ προΐεμαι ἐμὴν φωνὴν υἱοῖς ἀνθρώπων· νοήσατε, ἄκακοι, πανουργίαν, οἱ δὲ ἀπαίδευτοι ἔνθεσθε καρδίαν. Εἰσακούσατέ μου, σεμνὰ γὰρ ἐρῶ καὶ ἀνοίσω ἀπὸ χειλέων ὀρθά· ὅτι ἀλήθειαν μελετήσει ὁ φάρυγξ μου, ἐβδελυγμένα δὲ ἐναντίον ἐμοῦ χείλη ψευδῆ. Μετὰ δικαιοσύνης πάντα τὰ ῥήματα τοῦ στόματός μου, οὐδὲν ἐν αὐτῷ σκολιὸν οὐδὲ στραγγαλιῶδες· πάντα ἐνώπια τοῖς συνιοῦσι καὶ ὀρθὰ τοῖς εὑρίσκουσι γνῶσιν. Λάβετε παιδείαν καὶ μὴ ἀργύριον καὶ γνῶσιν ὑπὲρ χρυσίον δεδοκιμασμένον· κρείσσων γὰρ σοφία λίθων πολυτελῶν, πᾶν δὲ τίμιον οὐκ ἄξιον αὐτῆς ἐστιν.

## Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα.
## (Κεφ. α' 1 - 10)

Ἀγαπήσατε δικαιοσύνην, οἱ κρίνοντες τὴν γῆν, φρονήσατε περὶ τοῦ Κυρίου ἐν ἀγαθότητι καὶ ἐν ἁπλότητι καρδίας ζητήσατε αὐτόν· ὅτι εὑρίσκεται τοῖς μὴ πειράζουσιν αὐτόν, ἐμφανίζεται δὲ τοῖς μὴ ἀπιστοῦσιν αὐτῷ. Σκολιοὶ γὰρ λογισμοὶ χωρίζουσιν



ἀπὸ Θεοῦ, δοκιμαζομένη τε ἡ δύναμις ἐλέγχει ἄφρονας. Ὅτι εἰς κακότεχνον ψυχὴν οὐκ εἰσελεύσεται σοφία, οὐδὲ κατοικήσει ἐν σώματι καταχρέῳ ἁμαρτίας· ἅγιον γὰρ πνεῦμα παιδείας φεύξεται δόλον καὶ ἀπαναστήσεται ἀπὸ λογισμῶν ἀσυνέτων καὶ ἐλεγχθήσεται ἐπελθούσης ἀδικίας. Φιλάνθρωπον γὰρ πνεῦμα σοφίας καὶ οὐκ ἀθῳώσει βλάσφημον ἀπὸ χειλέων αὐτοῦ· ὅτι τῶν νεφρῶν αὐτοῦ μάρτυς ὁ Θεὸς καὶ τῆς καρδίας αὐτοῦ ἐπίσκοπος ἀληθὴς καὶ τῆς γλώσσης ἀκουστής· ὅτι πνεῦμα Κυρίου πεπλήρωκε τὴν οἰκουμένην καὶ τὸ συνέχον τὰ πάντα γνῶσιν ἔχει φωνῆς. Διὰ τοῦτο φθεγγόμενος ἄδικα οὐδεὶς μὴ παροδεύσῃ αὐτὸν ἐλέγχουσα ἡ δίκη. Ἐν γὰρ διαβουλίοις ἀσεβοῦς ἐξέτασις ἔσται, λόγων δὲ αὐτοῦ ἀκοὴ πρὸς Κύριον ἥξει εἰς ἔλεγχον ἀνομημάτων αὐτοῦ· ὅτι οὖς ζηλώσεως ἀκροᾶται τὰ πάντα καὶ θροῦς γογγυσμῶν οὐκ ἀποκρύπτεται.

## Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα.
## (Κεφ. γ' 1 - 9)

Δικαίων ψυχαὶ ἐν χειρὶ Θεοῦ καὶ οὐ μὴ ἅψηται αὐτῶν βάσανος. Ἔδοξαν ἐν ὀφθαλμοῖς ἀφρόνων τεθνάναι καὶ ἐλογίσθη κάκωσις ἡ ἔξοδος αὐτῶν καὶ ἡ ἀφ' ἡμῶν πορεία σύντριμμα, οἱ δέ εἰσιν ἐν εἰρήνῃ. Καὶ γὰρ ἐν ὄψει ἀνθρώπων ἐὰν κολασθῶσιν ἡ ἐλπὶς αὐτῶν ἀθανασίας πλήρης· καὶ ὀλίγα παιδευθέντες μεγάλα εὐεργετηθήσονται, ὅτι ὁ Θεὸς ἐπείρασεν αὐτοὺς καὶ εὗρεν αὐτοὺς ἀξίους ἑαυτοῦ· ὡς χρυσὸν

www.tezaurliturgic.ro



ἐν χωνευτηρίῳ ἐδοκίμασεν αὐτοὺς καὶ ὡς ὁλοκάρπωμα θυσίας προσεδέξατο αὐτούς. Καὶ ἐν καιρῷ ἐπισκοπῆς αὐτῶν ἀναλάμψουσι καὶ ὡς σπινθῆρες ἐν καλάμῃ διαδραμοῦνται· κρινοῦσιν ἔθνη καὶ κρατήσουσι λαῶν καὶ βασιλεύσει αὐτῶν Κύριος εἰς τοὺς αἰῶνας. Οἱ πεποιθότες ἐπ' αὐτῷ συνήσουσιν ἀλήθειαν καὶ οἱ πιστοὶ ἐν ἀγάπῃ προσμενοῦσιν αὐτῷ, ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

## *ΕΙΣ ΤΗΝ ΛΙΤΗΝ*

*Ἰδιόμελα*

*Ἦχος α'.*

Ὡς φωστὴρ ἐκ Ῥωσίας θείᾳ δυνάμει κινούμενος
ἐν Ὄρει τῷ Ἁγίῳ καὶ Μολδαβίας τοῖς ἄλσεσιν ἐξέλαμψας
ἀσκητικῇ πολιτείᾳ, θεοφόρε Παΐσιε·
τοῦ γὰρ Ἡλίου τῆς δικαιοσύνης, ἀκτῖσι καταλαμπόμενος
υἱὸς φωτὸς ἐγένου λαμπαδουχῶν πιστῶν τὰς καρδίας
καὶ αὐτῶν τῶν ψυχῶν ἀπελαύνων τὸν ζόφον·
ὀφθεὶς οὖν ἔκτυπον ἐν λόγοις καὶ πράξεσι τοῖς θέλουσι σωθῆναι
τῆς ἄνω ἀνέδραμες λαμπρότητος ἀπολαύειν τοῦ φέγγους
καὶ πρεσβεύειν ὑπὲρ τῶν τιμώντων σε.



*Ἦχος β'.*

Τῶν ἐν βίῳ φθαρτῶν καὶ ματαίων καταφρονήσας
Χριστῷ ἐπεπόθησας παιδιόθεν δουλεῦσαι
καὶ τῶν ἀΰλων κοινωνὸς γενέσθαι, Παΐσιε ὅσιε·
τὴν πτωχείαν γὰρ ἐνδυσάμενος
ἀπεξεδύσω τὴν τρυφὴν τῶν προσκαίρων
καὶ ἀποβαλὼν ἀδικίαν ἐδίωξας δικαιοσύνην
τὴν εἰς οὐρανοὺς τοὺς βροτοὺς ἀναβιβάζουσαν·
αὐτῶν τῆς εὐκλείας καὶ ἡμᾶς ἀξίωσον
ταῖς θεοπειθέσιν εὐχαῖς σου πρὸς Κύριον,
πάτερ πανεύφημε.

*Ἦχος γ'.*

Τὸν Ἄθωνα ὁλοθύμῳ ψυχῆς ἐφέσει καταλαβών, πάνσοφε,
συνεργείᾳ θείᾳ Σκήτην περίδοξον ἐδόμησας,
ἣν ἀρετῆς ἀνέδειξας παιδευτήριον
καὶ προσευχῆς ἀενάου ἐργαστήριον·
καὶ νῦν ἐν ταῖς ἄνω σκήτεσιν ἔχων τὸ πολίτευμα
ἀξίως ἡμᾶς ἐνίσχυσον πολιτευθῆναι
ὡς ἂν ἀξιωθείημεν τῶν ἐκλεκτῶν τῆς στάσεως.

*Ἦχος δ'.*

Σήμερον, πιστοί, συνελθόντες
ἐν τῇ πανσέπτῳ μνήμῃ Παϊσίου τοῦ θεοεικέλου
ψαλμικῶς αὐτὸν μακαρίσωμεν ἐν κατανύξει

www.tezaurliturgic.ro



βοῶντες·
μακάριος εἶ, δοῦλε ἀγαθέ,
ὅτι τὸ δοθέν σοι τάλαντον φιλοπόνως ἠργάσω
καὶ αὐτὸ συντόνοις ἀγῶσιν ἐπηύξησας·
διὸ εὐλογήσας σε, Χριστὸς ὁ Θεός,
ἔδωκέ σοι τὰ ἀγαθὰ τῆς ἄνω πόλεως,
ἐν ᾗ μνήσθητι καὶ ἡμῶν τῶν τελούντων
τὴν ἀεισέβαστον μνήμην σου.

*Δόξα. Ἦχος ὁ αὐτός.*

Τὸν ὁμόζηλον καὶ ὁμότροπον Ἠλιοὺ τοῦ Προφήτου καὶ εὐαγοῦς αὐτοῦ Σκήτεως ἐν Ἄθωνι κλεινὸν δομήτορα,
ἰσάγγελον Παΐσιον, ἐγκωμιάσωμεν κράζοντες·
ἡσυχίας πρόβολε καὶ διάκοσμε τῆς σκληραγωγίας,
ἐν ἡσυχίᾳ καὶ εἰρήνῃ τὴν ζωὴν ἡμῶν διαφύλαξον
καὶ λιταῖς σου ἴθυνον ἡμᾶς πρὸς τὴν ἀΐδιον μακαριότητα.

*Καὶ νῦν. Θεοτοκίον.*

*Ἐκ παντοίων κινδύνων τοὺς δούλους Σου φύλαττε,...*

*Εἰς τὸν Στίχον. Στιχηρὰ Προσόμοια.*
*Ἦχος πλ. α΄. Χαίροις, ἀσκητικῶν.*

Χαίροις, τῶν ἀρετῶν λαμπηδών,



τῆς ἡσυχίας διαυγὲς καταγώγιον,
ἡ στάθμη σκληραγωγίας,
ἀκτημοσύνης κανών,
νήψεως δοχεῖον
ὡραιότατον,
εἰκὼν διακρίσεως,
ταπεινώσεως ἔσοπτρον,
χρηστοηθείας
καὶ σεμνότητος πρόβολος
καὶ περίλαμπρον
ἀρετῶν στηλογράφημα·
ὅθεν τὴν θείαν μνήμην σου,
Παΐσιε ὅσιε,
περιχαρῶς ἐκτελοῦντες
καὶ σοὺς καμάτους γεραίροντες
Χριστὸν ἀνυμνοῦμεν
τὸν δοξάσαντά σε στέφει
ἀϊδιότητος.

*Στίχος. Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τοῦ Ὁσίου Αὐτοῦ.*

Χαίροις, ὁ τῆς Ῥωσίας βλαστός,
τῆς Μολδαβίας ἱερὸν σεμνολόγημα,
ἀνάστημα Ὄρους Ἄθω
περικλεὲς καὶ στεῤῥὸν
Ἐκκλησίας βάθρον,
πάτερ ὅσιε·
εὐχῆς ἐργαστήριον,

www.tezaurliturgic.ro



ἀσιτίας ἐκτύπωμα,
τῆς ἀπαθείας
παναρμόνιον ὄργανον
καὶ θησαύρισμα
τῆς διπλῆς ἀγαπήσεως,
σκέπε τοὺς ἀνυμνοῦντάς σε,
Παΐσιε, πάντοτε
καὶ ἐξαιρέτως τοὺς δήμους
τῶν μονοτρόπων ποθούντων σου
ζηλῶσαι τὰς τρίβους
ἀρετῆς τε καὶ σοφίας
πρὸς κτῆσιν, πάντιμε.

*Στίχος. Μακάριος ἀνὴρ ὁ φοβούμενος τὸν Κύριον.*

Χαίροις, τῶν μοναστῶν ἀπλανὲς
χειραγωγὲ πρὸς τὴν ζωὴν τὴν ἀμείνονα,
χειμάῤῥους χαρίτων θείων
ὁ καταρδεύων ψυχὰς
πρὸς τὴν εὐκαρπίαν
τὴν σωτήριον
ἀζύγων συστήματος,
θεοφόρε Παΐσιε,
Ἁγιωνύμου
Ὄρους ὄλβε ἀτίμητε
καὶ θησαύρισμα
Ἠλιοὺ θείας Σκήτεως
ἄσυλον, πλῦνον βόρβορον
παθῶν τῶν τιμώντων σε



καὶ ἐκτελούντων ἐν πίστει
τὴν ἀεισέβαστον μνήμην σου
εὐχῶν σου τοῖς ῥείθροις
τὸν τὸν μόνον σῴζειν γένος
ἡμῶν δυνάμενον.

*Δόξα. Ἦχος πλ. δ΄.*

Ἀσκητικῆς πολιτείας τοὺς καρποὺς γεωργήσας
ἀγγελικῆς εὐκληρίας καὶ δόξης ἐπέτυχες, Παΐσιε ὅσιε·
ἀξίως γὰρ τῆς κλήσεως πολιτευσάμενος
ἐν Ἄθωνι καὶ Μολδαβίᾳ καὶ Ῥωσίᾳ
τῶν λειμώνων τοῦ πόλου κληρονόμος ἐγένου
θεωθεὶς ἑνώσει τῇ θείᾳ, πανένδοξε·
αὐτῶν οὖν καὶ ἡμᾶς κληρονόμους δεῖξον
ταῖς πρὸς Θεὸν ἀσιγήτοις πρεσβείαις σου, ἀγγέλων ὁμόζηλε.

*Καὶ νῦν. Θεοτοκίον. Δέσποινα, πρόσδεξαι...*

*Ἀπολυτίκιον. Ἦχος α΄. Τῆς ἐρήμου πολίτης.*

Καλλονὴν τῶν πατέρων καὶ Ὁσίων ἐκτύπωμα,
μονοτρόπων θεῖον ἀλείπτην καὶ εὐχῆς ἐνδιαίτημα,
Παΐσιον, Ῥωσίδος γῆς καρπὸν
καὶ Ἄθωνος ἐκβλάστημα τερπνόν,
τὸ ἐν χρόνοις ἐξανθῆσαν ὑστέροις πίστει μέλψωμεν
κραυγάζοντες·

www.tezaurliturgic.ro



Δόξα τῷ σὲ κρατύναντι Χριστῷ,
δόξα τῷ σὲ ἁγιάσαντι,
δόξα τῷ δωρουμένῳ διὰ σοῦ
ἡμῖν τὰ πρόσφορα.

*Ἕτερον. Ἦχος πλ. α΄. Τὸν συνάναρχον Λόγον.*

Ἐραστὴν ἡσυχίας, εὐχῆς καὶ νήψεως,
βλαστὸν Ῥωσίας ἐν ὄρει
Ἁγιωνύμῳ καρποὺς
ἐξανθήσαντα ἀρτίως ὁσιότητος,
θεῖον Παΐσιον, λαμπρῶς
εὐφημήσωμεν, πιστοί,
ἀλείπτην ὡς ἀσκουμένων
θεοφιλῶς καὶ μεσίτην
ἡμῶν πρὸς Κύριον θερμότατον.

*Θεοτοκίον. Χαῖρε, Πύλη Κυρίου ἡ ἀδιόδευτος...*

*Ἀπόλυσις.*

## ΕΝ ΤΩ ΟΡΘΡΩ

Μετὰ τὸν Ἑξάψαλμον τὸ Ἀπολυτίκιον, ὡς ἐν τῷ Μεγάλῳ Ἑσπερινῷ, μετὰ δὲ τὴν α΄ Στιχολογίαν Κάθισμα.

*Ἦχος α΄. Τὸν τάφον Σου, Σωτήρ.*



Τῶν πάλαι ἀσκητῶν
ἰσοστάσιος ὤφθης,
Παΐσιε σοφέ,
καταρδεύων σοῖς λόγοις
Ῥωσίας τὸ ἔδαφος
καὶ δροσίζων τὰς φάλαγγας
τῶν ἐν ὄρεσι
καὶ ἐρημίαις βιούντων,
ὧν πανάριστος
ὑφηγητὴς ἀνεδείχθης
καὶ μέτρον χρηστότητος.

*Δόξα. Τὸ αὐτό. Καὶ νῦν. Θεοτοκίον.*

Τοῦ Τόκου σου νοεῖν
ἀκατάληπτον θαῦμα
μὴ σθένοντες, ἁγνή,
σιωπῇ, Θεοτόκε,
Αὐτὸν μεγαλύνομεν
καὶ ἀπαύστως δοξάζομεν
καὶ γηθόμενοι
σὲ μακαρίζομεν πόθῳ
τὴν πανάμωμον
ἐν γυναιξὶ καὶ τὴν μόνην
καλὴν ἀειπάρθενον.

*Μετὰ τὴν β΄. Στιχολογίαν Κάθισμα.*
*Ἦχος δ΄. Ταχὺ προκατάλαβε.*

www.tezaurliturgic.ro



Βιώσας ὡς ἄϋλος
ἐπὶ τῆς γῆς ἀστραπαῖς
ἀόκνου ἀσκήσεως,
σκληραγωγίας πολλῆς
καὶ νήψεως ἔλαμψας
ἄστρον ὡς ἐγκρατείας
παμφαὲς καὶ φωσφόρον·
ὅθεν σὴν θείαν μνήμην
γεγηθότες τιμῶντες,
Παΐσιε, πρεσβείας τὰς σὰς
ἀπεκδεχόμεθα.

*Δόξα. Τὸ αὐτό. Καὶ νῦν. Θεοτοκίον.*

Πεσόντων ἀνάκλησις,
ῥῶσις νοσούντων δεινῶς,
καμνόντων ἐπίσκεψις
καὶ βακτηρία τυφλῶν,
θεόνυμφε Δέσποινα,
πέλουσα οὐρανόθεν
τοὺς ὑμνοῦντάς σε σκέπε,
φύλαττε καὶ ἀπαύστως
περιφρούρει, Παρθένε,
πιστῶν παραμυθία σεπτὴ
καὶ καταφύγιον.

*Μετὰ τὸν Πολυέλεον Κάθισμα.*
*Ἦχος γ΄. Τὴν ὡραιότητα τῆς παρθενίας σου.*



Πολιτευσάμενος καθάπερ ἄγγελος
ἐν ὄρει Ἄθωνος, σοφὲ Παΐσιε,
σεπτῆς προφήτου Ἠλιοὺ τῆς Σκήτεως θεῖε κτῖτορ,
ἀσιτίᾳ, δάκρυσιν, ἐγκρατείᾳ, στερήσεσι
καὶ εὐχῇ ἐτρόπωσας τὸν δεινὸν πολεμήτορα
καὶ ἤρθης ἀπαθείας εἰς ὕψος, πάτερ ἀρετηφόρε, μάκαρ.

*Δόξα. Τὸ αὐτό. Καὶ νῦν. Θεοτοκίον.*

Τὴν σκοτισθεῖσάν μου ψυχὴν καταύγασον
φωτὶ τῆς χάριτος τοῦ θείου Τόκου σου,
ἁγνὴ Παρθένε, Μαριάμ, ἐλπὶς τῶν ἀπηλπισμένων,
καὶ ἀχλὺν ἀπέλασον τῶν ἀπείρων πταισμάτων μου,
ὅπως εὕρω ἔλεος ἐν τῇ ὥρᾳ τῆς Κρίσεως
καὶ πόθῳ ἀσιγήτως βοῶ σοι· Χαῖρε, ἡ Κεχαριτωμένη.

*Τὸ α΄ Ἀντίφωνον τοῦ δ΄ ἤχου καὶ τὸ Προκείμενον.*
*Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τοῦ Ὁσίου Αὐτοῦ.*
*Στίχος. Μακάριος ἀνὴρ ὁ φοβούμενος τὸν Κύριον.*

**Εὐαγγέλιον Ὁσιακόν (Λουκ. στ΄ 17 - 23).**
Τῷ καιρῷ ἐκείνῳ ἔστη ὁ Ἰησοῦς ἐπὶ τόπου πεδινοῦ...
Ζήτει τῇ Παρασκευῇ τῆς Β΄ Ἑβδομάδος.
*Ὁ Ν΄ Ψαλμός.*

www.tezaurliturgic.ro



*Δόξα. Ταῖς τοῦ Σοῦ Ὁσίου, πρεσβείαις, Ἐλεῆμον,...*
*Καὶ νῦν. Ταῖς τῆς Θεοτόκου πρεσβείας, Ἐλεῆμον....*

*Ἰδιόμελον. Ἦχος πλ. β΄*

Οὐρανοδρόμον ἀνύσας ἐν Ῥωσίᾳ, Μολδαβίᾳ καὶ Ἄθωνι πορείαν
οὐρανοπολίτης γέγονας, ἡσυχαστὰ Παΐσιε·
καὶ νῦν μετέχων τῆς ἀλήκτου λαμπρότητος
καὶ τοῦ Παμβασιλέως Χριστοῦ τοῦ κάλλους τῆς μορφῆς ἀπολαύων,
μὴ παύσῃ Αὐτοῦ δεόμενος ὑπὲρ τῆς εἰρήνης τοῦ κόσμου
καὶ σωτηρίας τῶν ψυχῶν ἡμῶν.

Σῶσον, ὁ Θεός, τὸν λαόν Σου....

*Εἶτα ὁ Κανὼν τοῦ Ὁσίου, οὗ ἡ Ἀκροστιχίς·*
*“Παϊσίου, ἀλείπτου μονοτρόπων αἶνος. Χ. Μ”*

*Ὠδὴ α΄. Ἦχος δ΄. Ἀνοίξω τὸ στόμα μου.*

Παΐσιον ὅσιον,
Πολτάβας θεῖον ἐκβλάστημα
καὶ ἔρνος νεόβλαστον
Ῥωσίας τῆς ἀχανοῦς
ἀνυμνήσωμεν



ὡς καλλονὴν πατέρων
πρεσβείας αἰτούμενοι
τούτου πρὸς Κύριον.

Ἀλείπτης θειότατος
τῶν μονοτρόπων γενόμενος
ἀόκνοις καμάτοις σου
καὶ ἀσιγήτῳ εὐχῇ
διεκόσμησας
Χριστοῦ τὴν Ἐκκλησίαν
καὶ ηὔφρανας ἅπαντας,
πάτερ Παΐσιε.

Ἰθύνας, Παΐσιε,
σοφῶς τὰ σὰ διαβήματα
Κιέβου πρὸς σπήλαια
τῆς Λαύρας πνευματικοῦ
σοῦ καὶ ῥήμασιν
αὐτοῦ καλῶς ὑπείκων
ἀνῆλθες τὴν κλίματα
τῆς τελειώσεως.

*Θεοτοκίον.*

Στενώσεως λύτρωσαι
τοὺς πόθῳ σε μακαρίζοντας,
ἁγνὴ ἀειπάρθενε,
ὡς τοῦ Ὑψίστου Θεοῦ
Λόγου σκήνωμα

www.tezaurliturgic.ro



εὐρύχωρον καὶ θεῖον,
οἰκτῖρμον, φιλάνθρωπε καὶ πολυεύσπλαγχνε.

*ᾨδὴ γ΄. Τοὺς σοὺς ὑμνολόγους.*

Ἰσχύσας ἐκ τῆς νεότητός σου
τῶν χρόνων πατάξαι δυσμενῆ
χοροὺς ἀγγέλων ηὔφρανας
ἀγῶσί σου, Παΐσιε,
μεθ' ὧν συγχαίρῃ πάντοτε
ἐν οὐρανίοις σκηνώμασι.

Ὁσίων πατέρων κοσμιότης,
βιάζων ἀπαύστως σεαυτὸν
τὴν Βασιλείαν ἥρπαξας
τῶν οὐρανῶν, Παΐσιε,
ἐν ᾗ τρυφᾷς ἀείποτε
ξύλου ζωῆς τῆς ἀτέρμονος.

Ὑμνοῦντές σε σκεῦος ὡς χαρίτων,
Παΐσιε, θείων εὐπρεπὲς
καὶ δωρεῶν τοῦ Πνεύματος
τοῦ Παρακλήτου μέλαθρον
τιμῶμεν τοὺς ἀγῶνάς σου
πρὸς ἀρετῆς ὁλοκλήρωσιν.

*Θεοτοκίον.*

Ἁγίασον τοὺς δοξολογοῦντας



τὸν Τόκον σου τὸν μονογενῆ
καὶ πίστει καταφεύγοντας
τῇ θείᾳ ἀντιλήψει σου,
εὐλογημένη Δέσποινα,
Θεοχυῆτορ Παντάνασσα.

*Κάθισμα. Ἦχος γ΄. Θείας πίστεως.*

Τὸν διδάσκαλον τῶν μονοτρόπων
τὸν θεόσοφον καὶ ποδηγέτην
ἀπλανῆ πιστῶν πρὸς δρόμον σωτήριον
ἐγκωμιάσωμεν πάντες, Παΐσιον,
ὡς ἡσυχίας καὶ νήψεως πρόβολον
καὶ ἀγλάϊσμα πολύτιμον ταπεινώσεως,
εὐχῆς ἀδιαλείπτου καὶ συνέσεως.

*Δόξα. Τὸ αὐτό. Καὶ νῦν. Θεοτοκίον.*

Παραμύθιον τῶν θλιβομένων
καὶ προσφύγιον ἐμπεριστάτων,
Θεοτόκε, χριστωνύμων ἀγλάϊσμα,
τῶν οἰκετῶν σου δεήσεων ἄκουσον
καὶ τὰς ψυχὰς χαρμονῆς πάντων ἔμπλησον
τῶν ἐν ᾄσμασιν εὐήχοις μεγαλυνόντων σε
καὶ Τόκον δοξαζόντων σου τὸν πάνσεπτον.

*ᾨδὴ δ΄. Ὁ καθήμενος ἐν δόξῃ.*

Λάμπων Πνεύματος τοῦ θείου

www.tezaurliturgic.ro



ταῖς ἀκτῖσι, Παΐσιε,
ἐκ νεότητος σου
τὰς Γραφὰς τὰς θείας ἡρμήνευες
καὶ κατεφώτιζες λόγοις σου ὁμήγυριν,
πνευματέμφορε,
συνασκητῶν τῶν τιμίων σου.

Ἐργαζόμενος ἀπαύστως
ἀρεταῖς ταῖς τοῦ Πνεύματος
ἀσκητῶν ὁσίων
πάλαι ἐκλαμψάντων ὁμόζηλος
ἐν τοῖς ἐσχάτοις τοῖς ἔτεσι, Παΐσιε
μάκαρ, πέφηνας,
ἡσυχαστὰ θεοδόξαστε.

Ἵνα σιωπῆς ἀξίαν
διδαχθῇς, τὸ κρηπίδωμα
πάσης μετανοίας
καὶ εὐχῆς ἀόκνου, Παΐσιε,
εἰς τοῦ Κυρκούλ σκήτην ἦλθες, ἔνθα ἔτεινες
πρὸς τὸν Κύριον
σὸν νοῦν δακρύων ἐκχύσεσι.

*Θεοτοκίον.*

Προστασίας θείας στῦλε
τῶν βροτῶν ἀδιάσειστε,
Κεχαριτωμένη,
ἅπασι βοήθει τοῖς δούλοις σου



τοῦ Παϊσίου ἐντεύξεσι τοῦ σώφρονος
καὶ ἁγίαζε
τοὺς εὐλαβῶς ἀνυμνοῦντάς σε.

*Ὠδὴ ε΄. Ἐξέστη τὰ σύμπαντα.*

Τοῖς πόθῳ δοξάζουσιν
ἐν ταπεινώσει, ἔλεγες,
τὸν Χριστὸν συντόμως χορηγεῖται
χαρά, εἰρήνη
καὶ ὀχετοὶ ἀληθῶς
δακρύων, Παΐσιε σεπτέ,
ἀσκητῶν διδάσκαλε
τῶν ποθούντων τὴν θέωσιν.

Οὐράνιε ἄνθρωπε,
Παΐσιε, ἐζήτησας
ἐν Ἁγίῳ Ὄρει ἡσυχίαν,
τῆς εὐλαβείας
καὶ ἀκραιφνοῦς ἀρετῆς
ναῷ καὶ δογμάτων τῶν ὀρθῶν
προπυργίῳ, ἔνθεε
ἀσκητά, θεοδόξαστε.

Ὑμνοῦμέν σε ἅπαντες
τὸν ἄκακον, ἡσύχιον,
ἔμφρονα καὶ ἄμεμπτον πατέρα,
σκληραγωγίας
καὶ προσευχῆς ἐραστὴν

www.tezaurliturgic.ro



καὶ ἄκρας νηστείας ἀσκητὴν
ὅσιον, Παΐσιον,
ὄρους Ἄθωνος σέμνωμα.

*Θεοτοκίον.*

Μητράνανδρε Δέσποινα,
παλάτιον χρυσότευκτον
τοῦ Παμβασιλέως Θεοῦ Λόγου,
ὑψόθεν σκέπε
καὶ περιφρούρει ἀεὶ
χορείαν πιστῶν σου ὑμνητῶν
τῶν μεγαλυνόντων σε
εἰς αἰῶνα τὸν ἅπαντα.

*ᾨδὴ στ΄. Τὴν θείαν ταύτην.*

Ὁσίων πάντων καλλώπισμα,
Παΐσιε, νηστεύων, εὐχόμενος
καὶ νήφων ἤνυσας
τὸ σὸν ἐπίγειον στάδιον
καλῶς καὶ πρὸς ἀφθίτους
μονὰς ἀνέδραμες.

Νικήσας τὸν πολυμήχανον
ἐχθρὸν σκληραγωγίας τοῖς τρόποις σου,
σεπτὲ Παΐσιε,
δομῆσαι σκήτην ἠξίωσαι
τῷ Ἠλιοὺ τῷ θείῳ ἐν ὄρει Ἄθωνος.



Ὁ τὴν πτωχείαν τοῦ Κτίσαντος
ποθήσας Ἰησοῦ ἐκ νεότητος
ὤφθης, Παΐσιε,
δοτὴρ πτωχοῖς ἱλαρώτατος
καὶ ἀρωγὸς πενήτων
θεοειδέστατος.

*Θεοτοκίον.*

Τῶν χριστωνύμων ἀντίληψις,
πενήτων χορτασμός, Μητροπάρθενε,
καὶ καταφύγιον
ἐμπεριστάτων, πανύμνητε,
ἐδείχθης, Θεοτόκε,
τῶν προστρεχόντων σοι.

*Κοντάκιον. Ἦχος πλ. δ΄. Τῇ Ὑπερμάχῳ.*

Τὸν προσευχόμενον ἀπαύστως, κακουχούμενον,
ἐφησυχάζοντα, νηστεύοντα καὶ νήφοντα
γόνον πάνσεπτον Ῥωσίας καὶ μυροβόλον
ἄνθος Ἄθωνος ὡς ποδηγέτην ἄριστον
μονοτρόπων ἀρετῆς πρὸς κτῆσιν μέλψωμεν
πόθῳ κράζοντες· Χαίροις, μάκαρ Παΐσιε.

*Ὁ Οἶκος.*

Ἄγγελος φωτοφόρος,

www.tezaurliturgic.ro



Ἠλιοὺ τοῦ προφήτου
ὁμόζηλος, Παΐσιε, ὤφθης,
καὶ δομήτωρ ἐν Ὄρει αὐτοῦ
τῷ Ἁγίῳ, μάκαρ, εὐκλεοῦς Σκήτεως·
διό σε μακαρίζοντες
βοῶμέν σοι ἐν κατανύξει·

Χαῖρε, Ῥωσίας ὁ θεῖος γόνος·
χαῖρε, ἁγνείας ἀστράπτων φάρος.

Χαῖρε, ἡσυχίας καὶ νήψεως πρόβολος·
χαῖρε, Ἐκκλησίας ὁ θεῖος διάκοσμος.

Χαῖρε, βάθρον ἀδιάσειστον θεοσδότων δωρεῶν·
χαῖρε, ῥεῖθρον διειδέστατον ψυχοτρόφων ἀρετῶν.

Χαῖρε, τῶν μονοτρόπων τοὺς χοροὺς ὁ εὐφράνας·
χαῖρε, ἐνασκουμένων δήμους λόγοις στηρίξας.

Χαῖρε, δακρύων ῥοῦς κατανύξεως·
χαῖρε, πατέρων βάκτρον στηρίξεως.

Χαῖρε, λαμπὰς ἡσυχασμοῦ φωτοφόρος·
χαῖρε, ψεκὰς ἁγιασμοῦ μυροβόλος·

Χαίροις, μάκαρ Παΐσιε.

*Συναξάριον.*



Τῇ ιε´ τοῦ αὐτοῦ μηνός, μνήμη τοῦ ὁσίου καὶ θεοφόρου πατρὸς ἡμῶν Παϊσίου, τοὐπίκλην Βελιτσκόφσκυ, τοῦ ἡσυχαστοῦ καὶ καινιστοῦ ἐν Βοῤῥᾷ τοῦ ἀσκητικοῦ ἰδεώδους.

*Στίχοι.*

Ἡσυχίας ἐραστά, ἀζύγων ὤφθης
ἀλείπτης θεῖος, Παΐσιε Ῥῶσε.

*Συναξάριον.*

Ὁ ὅσιος καὶ θεοφόρος πατὴρ ἡμῶν Παΐσιος πατρίδα ἔσχε τὴν ἐν Ῥωσίᾳ Πολτάβαν, ἔνθα ἐγεννήθη τῇ 21ῃ Δεκεμβρίου τοῦ σωτηρίου ἔτους 1722. Ἔρωτι θείῳ τρωθεὶς παιδιόθεν ἠκολούθησε μοναστῶν ταῖς τρίβοις καὶ καρεὶς ῥασοφόρος μοναχὸς ἐν τῇ μονῇ τοῦ Ἁγίου Νικολάου τοῦ Μεντβεντόφσκυ ἔλαβε τὴν κλῆσιν Πλάτων. Ὁ πόθος αὐτοῦ δι᾽ ἡσυχίαν καὶ νῆψιν τὸν ὡδήγησεν ἀλληλοδιαδόχως πρὸς τὴν Λαύραν τῶν Σπηλαίων τοῦ Κιέβου, τὰς Λαύρας τῆς Βλαχίας καὶ τὸ Ἁγιώνυμον Ὄρος, ἔνθα ἐκάρη μοναχός, ἔλαβε τὴν κλῆσιν Παΐσιος ἐν ἔτει 1750 καὶ διέπρεψεν ἐπ᾽ ἀρετῇ καὶ σοφίᾳ. Ἀναγιγνώσκων τὰ συγγράμματα τῶν θεοσόφων πατέρων τῆς Ἐκκλησίας ἠξιώθη οὐ μόνον ὁμόζηλος τῶν πάλαι ἀναφανῆναι πατέρων, ἀλλὰ καὶ θιασώτης τοῦ ἡσυχασμοῦ καὶ τῆς ἀδιαλείπτου καρδιακῆς προσευχῆς γενέσθαι. Συλλέξας πλῆθος μαθητῶν ἐπιπο-

www.tezaurliturgic.ro



θούντων τὴν ἐν Χριστῷ τελείωσιν ἐδόμησε θείᾳ δυνάμει τὴν περίλαμπρον τοῦ προφήτου Ἠλιοὺ Σκήτην καὶ χειροτονηθεὶς Ἱερεὺς τοῦ Ὑψίστου ἐν ἔτει 1758 ἀλείπτης πολλῶν ἐγένετο πρὸς τὴν μοναδικὴν πολιτείαν καὶ ἰθύντωρ ἀπλανέστατος ψυχῶν πρὸς σωτηρίαν. Μεταφράσας πολλὰ τῶν συγγραμμάτων τῶν ἁγίων πατέρων εἰς τὴν Σλοβενικὴν γλῶσσαν καινιστὴς ἀνεδείχθη τοῦ ἡσυχασμοῦ καὶ τοῦ Ἀθωνιτικοῦ πνεύματος ἐν τῷ Ὀρθοδόξῳ Βοῤῥᾷ. Πολλὰς συστήσας πνευματικὰς κυψέλας εἰς Μολδαβίαν καὶ Βλαχίαν, ἐν αἷς ἐν ταῖς Μοναῖς Δραγομίρνας, Σεκοὺλ καὶ Νιαμέτς, καὶ ὀφθεὶς πατὴρ πατέρων καὶ Πνεύματος ἁγίου δωρεῶν ποταμὸς πολύῤῥυτος πρὸς Κύριον ἐξεδήμησε τῇ 15ῃ Νοεμβρίου τοῦ σωτηρίου ἔτους 1794.
Ταῖς αὐτοῦ ἁγίαις πρεσβείαις, Χριστὲ ὁ Θεός, ἐλέησον καὶ σῶσον ἡμᾶς. Ἀμήν.

*Ὠδὴ ζ΄. Οὐχ ἐλάτρευσαν.*

Ῥίζα πάνσεπτος
ἀσκητισμοῦ καινίσεως
ὤφθης, Παΐσιε,
ἐν τῷ Βοῤῥᾷ ἀληθῶς,
ἐν ᾧ μετεφύτευσας
ἰδέαν Ἄθωνος
τὴν σωτήριον
καὶ ψυχοτρόφον, ὅσιε,
κλῆσιν ἔχων Βελιστκόφσκυ.



Ὁσιώτατε,
ὑπομονὴν ἐν θλίψεσιν,
ἄκραν ταπείνωσιν,
ἀγάπην, ὑπομονὴν
καὶ νῆψιν ἐδίδασκες
τοῖς προσιοῦσί σοι
μετὰ πίστεως,
θεοειδὲς Παΐσιε,
καὶ πνευματικοῖς σου τέκνοις.

Πάτερ πάνσοφε,
πεφωτισμένε ὅσιε
ὑπὸ τοῦ Πνεύματος
τοῦ πανσθενοῦς νηπτικῶν
πατέρων συγγράμματα
ψυχαῖς ὠφέλιμα
ἀνεγίγνωσκες
καὶ δι᾽ αὐτῶν, Παΐσιε,
ἐνουθέτεις μαθητάς σου.

*Θεοτοκίον.*

Ὡς παλάτιον
χρυσότευκτον σεμνότητος
σὲ μεγαλύνομεν,
Θεογεννῆτορ ἁγνή,
καὶ μέλαθρον πάμφωτον
ἠθῶν χρηστότητος

www.tezaurliturgic.ro



καὶ προστρέχομεν
ταῖς σαῖς πρὸς τὸν Παντάνακτα
καὶ Υἱόν σου ἱκεσίαις.

*Ὠδὴ η΄. Παῖδας εὐαγεῖς.*

Νέκταρ ἐκ πατέρων συγγραμμάτων
συνέλεξας τῶν πνευματοφόρων, πάτερ ὅσιε
καὶ αὐτῶν μετέφρασας
βίβλους θείᾳ χάριτι
πιστῶν πρὸς οἰκοδόμησιν
Βοῤῥᾶ, Παΐσιε,
ὁ φλόγα τῶν ἁγίων πατέρων
μεταλαμπαδεύσας
πρὸς τῆς Ῥωσίας χώρας.

Ἄκακε, σοφὲ καὶ ταπεινόφρον,
Παΐσιε, σταθηρῶς πρὸς πόλον ἴθυνας
κατὰ πνεῦμα τέκνα σου
καὶ τοὺς καταφεύγοντας,
ταῖς θείαις νουθεσίαις σου,
πνευματοφόρητε,
πυξὶς ἀπλανεστάτη ἀζύγων
καὶ πιστῶν ποθούντων
τελείωσιν ἐν βίῳ.

Ἵλεων ἡμῖν τοῖς σὲ τιμῶσιν
ἀπέργασαι τὸν οἰκτίρμονα Θεάνθρωπον,
θεαυγὲς Παΐσιε,



ὄρους Ἄθω σέμνωμα,
τῆς ἡσυχίας σκήνωμα
καὶ ἐνδιαίτημα
σοφίας τῆς ἐνθέου, παμμάκαρ,
ἵνα τὴν σὴν μνήμην
πανευλαβῶς τελῶμεν.

*Θεοτοκίον.*

Νάρδε μυστικὴ τερπνοῦ λειμῶνος
Ἐδὲμ νοητῆς ἐν πόλῳ, Μητροπάρθενε,
Παναγία Δέσποινα,
δυσωδίαν δίωξον
ἡμῶν παθῶν καὶ θλίψεων
τῶν ἀνυμνούντων σε
καὶ πίστει σὰς ἀόκνους πρεσβείας
ἀπεκδεχομένων
πρὸς τὸν Μονογενῆ σου.

*Ὠδὴ θ΄. Ἅπας γηγενής.*

Ὅλον ἐκ παιδὸς
σαυτὸν καθιέρωσας
τῷ πανοικτίρμονι
Ἰησοῦ, Παΐσιε,
ἀμέμπτῳ βίῳ,
Ὧ προσενήνεξαι
ὡς θεῖον ὁλοκαύτωμα·
διόπερ αἴνεσιν

www.tezaurliturgic.ro



τήνδε δέξαι
ὡς τερπνὸν θυμίαμα
καὶ εὐῶδες, θεόφρον, ὀσφράδιον.

Στῆσον ἱεραῖς
εὐχαῖς σου πρὸς Κύριον,
τὸ ἐγειρόμενον
καθ' ἡμῶν κλυδώνιον
καὶ σκοτομήνην
παθῶν ἀπέλασον
καὶ πειρασμῶν τὴν ζόφωσιν,
θεοφορούμενε,
παῤῥησίαν
ὡς πολλὴν πρὸς Κύριον
τὸν Σωτῆρα κατέχων, Παΐσιε.

Χαῖρε, θεαυγὲς
ἀνάστημα Ἄθωνος,
κλυτὲ Παΐσιε,
χαῖρε, θείου Πνεύματος
λαμπρὸν δοχεῖον
καὶ ὁμηγύρεως
ἀζύγων ἐγκαλλώπισμα,
ἀναβοῶντές σοι
ἐκζητοῦμεν
τὰς πρὸς τὸν φιλάνθρωπον
Ἰησοῦν ἱκεσίας σου, ἅγιε.

*Θεοτοκίον.*



Μῆτερ τοῦ Θεοῦ,
ἁγνὴ ἀειπάρθενε,
ἡμῶν τὴν ἔκπτωτον
φύσιν ἡ καινίσασα
διὰ τοῦ Τόκου
τοῦ πανιέρου σου,
ταχὺ φθορᾶς ἐξάρπασον
τοὺς προσιόντας σοι
καὶ βοῶντας·
Χαῖρε, θεία πρόξενε
ἀφθαρσίας βροτῶν τοῦ φυράματος.

*Ἐξαποστειλάριον. Γυναῖκες ἀκουτίσθητε.*

Σκληραγωγίᾳ, στάσεσι
παννύχοις, πάτερ, δάκρυσι
καὶ ἀσιτίᾳ πρὸς ὕψος
ἐπήρθης δόξης ἀῤῥήτου
καὶ τοῦ Χριστοῦ νῦν βήμασι
παρεστηκὼς ἱκέτευε
ὑπὲρ τῶν εὐφημούντων σε
καὶ εὐλαβῶς ἐκτελούντων
τὴν σὴν πανέορτον μνήμην.

*Θεοτοκίον.*

Τὴν λογισμοῖς φθαρεῖσάν μου
ψυχήν, Θεογεννήτρια,

www.tezaurliturgic.ro



ῥῦσαι φθορᾶς αἰωνίου,
ἀφθόρως ἡ συλλαβοῦσα,
Παρθένε, τὸν Θεάνθρωπον
Χριστόν, σαῖς παρακλήσεσιν,
ἵνα ὑμνῶ σε πάντοτε
τὴν ἐν τῷ τίκτειν ἀσπόρως
ὑπερφυῶς μὴ φθαρεῖσαν.

Εἰς τοὺς Αἴνους ἱστῶμεν στίχους δ΄ καὶ ψάλλομεν Στιχηρὰ Προσόμοια.
*Ἦχος α΄. Πανεύφημοι μάρτυρες.*

Παΐσιε, σκεῦος ἐκλεκτὸν
τοῦ Ἁγίου Πνεύματος,
στοιχειωθεὶς ἐκ νεότητος
ἀγάπῃ κρείττονι
νουνεχῶς πατρίδα
καὶ τερπνὰ κατέλιπες
τοῦ κόσμου καὶ ἐνθέῳ φρονήματι
πρὸς τῆς ἀσκήσεως
τὰ παλαίσματα ἐχώρησας,
τὸν Βελίαρ
δι᾽ ὧν ἐθριάμβευσας.

Παΐσιε, ἄστρον τηλαυγὲς
ἐν Ῥωσίᾳ ἔλαμψας
καὶ Μολδαβίᾳ καὶ Ἄθωνι
αὐγαῖς ἀσκήσεως
καὶ σκληραγωγίας



ἄκρας ἀμαρύγμασι
φωτίζων μονοτρόπων συστήματα,
ὧν ἀπλανέστατος
ὁδοδείκτης πρὸς τελείωσιν
ἀνεδείχθης
καὶ βίωσιν ἄληκτον.

Παΐσιε, ᾄσμασι τερπνοῖς
τὴν σὴν μνήμην στέφοντες
ὡς ἐγκρατείας διδάσκαλον
καὶ ταπεινώσεως
πρύτανιν ἐκθύμως
πάντες ἀνυμνοῦμέν σε,
λαμπτῆρα ὡς λαμπρὸν θείας χάριτος
καὶ στῦλον ἄῤῥηκτον
ἀκτησίας καὶ συνέσεως,
θεοφόρε,
ἀγγέλων ἐφάμιλλε.

Παΐσιε, σύμβολα χαρᾶς
ὑπεμφαίνει μνήμη σου
ἀζύγοις καὶ ὁμηγύρεσι
πιστῶν, θεσπέσιε·
ὅθεν συνελθόντες
νῦν κροτοῦμεν ᾄσμασι
τὸν ἄξιον πατέρα καὶ κτίτορα
τῆς θείας Σκήτεως
Ἠλιοὺ τοῦ οὐρανόφρονος,
σέ, τρισμάκαρ,

www.tezaurliturgic.ro



τὸν ὄντως ἰσάγγελον.

*Δόξα. Ἦχος πλ. α΄.*

Τὸν ἐν τῇ ἀπεκδύσει τῶν προσκαίρων νεκρωθέντα τοῖς παροῦσι
καὶ ἀμέμπτως ἄχρι τέλους Θεῷ δουλεύσαντα,
Παΐσιον τὸν πνευματοφόρον, ἀξίως, οἱ πιστοί, ἐγκωμιάσωμεν·
οὗτος γὰρ δόκιμος ἐν τῇ ἰσαγγέλῳ πολιτείᾳ
φανεὶς ἐν Ἄθωνι καὶ Μολδαβίᾳ
τῆς ἀκαταλύτου ζωῆς κληρονόμος γέγονε·
διὸ καὶ ἀγγέλοις συγχορεύων
Χριστῷ πρεσβεύει καὶ ἡμᾶς χαρᾶς ἀξιῶσαι ἀλήκτου
τοὺς τελοῦντας ἐν πίστει αὐτοῦ τὸ μνημόσυνον.

*Καὶ νῦν. Θεοτοκίον. Μακαρίζομέν σε, Θεοτόκε Παρθένε,...*

*Δοξολογία Μεγάλη καὶ Ἀπόλυσις.*



# ΕΝ ΤΗ ΛΕΙΤΟΥΡΓΙΑ

Τὰ Τυπικά, οἱ Μακαρισμοὶ καὶ ἐκ τοῦ Κανόνος τοῦ Ὁσίου ἡ γ΄ καὶ ἡ στ΄ ᾠδή.
**Ἀπόστολος πρὸς Γαλάτας. (Κεφ. ε΄ 22 - στ΄ 2).**
Ἀδελφοί, ὁ καρπὸς τοῦ Πνεύματός ἐστι, χαρά,...
Ζήτει τῷ Σαββάτῳ τῆς ΚΖ΄ Ἑβδομάδος.
**Εὐαγγέλιον κατὰ Λουκᾶν. (Κεφ. ιγ΄ 17 - 23).**
Τῷ καιρῷ ἐκείνῳ ἔστη ὁ Ἰησοῦς ἐπὶ τόπου πεδινοῦ...
Ζήτει τῇ Πέμπτῃ τῆς Δ΄ Ἑβδομάδος.

*Κοινωνικόν. Εἰς μνημόσυνον αἰώνιον.*

*Μεγαλυνάριον.*
Χαίροις, ἐνδιαίτημα προσευχῆς,
σκεῦος ἡσυχίας
καὶ θεόπνους εἰσηγητὴς
Ἄθωνος ἀζύγων
τῶν τρόπων ἐν Ῥωσίᾳ,
Παΐσιε, ὁσίων
θείων ὡράϊσμα.

Δίστιχον.

Πέτρου χάριν θεαυγὲς Ῥωσίας ἄστρον,
Παΐσιον ᾖσε Χαραλάμπης πόθῳ.

**ΤΕΛΟΣ ΚΑΙ ΔΟΞΑ Τ Ω ΜΟΝΩ ΑΛΗΘΙΝΩ ΘΕΩ ΗΜΩΝ**